# eis to pipi

## Εὐαγρίου εἰς τὸ πιπι.

Διὰ τὴν ἑβραϊκὴν ἐπὶ τοῦ κυρίου παρασημείωσιν ταῦτα λεκτέον. δέκα ὀνόμασι παρ' Ἑβραίοις ὀνομάζεται ὁ θεός. ὧν ἓν μὲν Ἀδωναῒ λέγεται, ὅ ἐστιν κύριος, ἕτερον δὲ Ἰά, ὃ αὐτὸ ἐν τῷ ἑλληνικῷ εἰς τὸ κύριος μετελήφθη. ἕτερον δέ τι παρὰ ταῦτά ἐστι, τὸ τετραγράμματον, ἀνεκφώνητον ὂν παρ' Ἑβραίοις, ὃ καταχρηστικῶς παρὰ μὲν αὐτοῖς Ἀδωναῒ καλεῖται, παρὰ δὲ ἡμῖν κύριος. τοῦτο δὲ φασὶν ἐπὶ τῷ πετάλῳ τῷ χρυσῷ τῷ ἐπὶ τοῦ μετώπου τοῦ ἀρχιερέως γεγράφθαι κατὰ τὸ ἐν τῷ νόμῳ εἰρημένον «ἐκτύπωμα σφραγῖδος ἁγίασμα κυρίῳ πιπι». τὰ δὲ λοιπὰ ὀνόματά ἐστιν ταῦτα· Ἤλ, Ἐλωείμ, Ἀδών, Σαβαώθ, Σαδδαΐ, Αἰϊὲ ἐσεριὲ καὶ τὰ προγεγραμμένα τρία, ὧν ἐστὶν τὸ τετραγράμματον, τούτοις γραφόμενον τοῖς στοιχείοις ἰὼθ ἓ οὐαὺ ἓ . πιπι ὁ θεός. Τὸ ἐπὶ τοῦ κυρίου ταττόμενον ἀνεκφώνητον ὄνομα διὰ τεσσάρων γράφεται στοιχείων, διὰ τοῦ ἰώθ, διὰ τοῦ ἓ , διὰ τοῦ οὐὰβ καὶ διὰ τοῦ ἤθ . τούτων μέσον παρεντεθὲν μετὰ τὰ πρῶτα δύο παρ' Ἑβραίοις στοιχεῖον καλούμενον σέν, ὅ ἐστιν ὀδόντες, ὡς εἶναι τὸν εἱρμὸν τῶν πέντε γραμμάτων οὕτως· ἀρχὴ αὕτη, ὀδόντες ἐν αὐτῇ ὁ ζῶν. ἑρμηνεύεται τὰ τέσσαρα στοιχεῖα, τὸ ἰὼθ ἀρχή, καὶ διὰ τοῦ ἓ αὕτη, καὶ διὰ τοῦ οὐὰβ καὶ διὰ τοῦ ἤθ . τούτων μέσον παρεντεθὲν μετὰ τὰ πρῶτα δύο παρ' Ἑβραίοις στοιχεῖον καλούμενον σέν, ὅ ἐστιν ὀδόντες, ὡς εἶναι τὸν εἱρμὸν τῶν πέντε γραμμάτων οὕτως· ἀρχὴ αὕτη, ὀδόντες ἐν αὐτῇ ὁ ζῶν. ἑρμηνεύεται τὰ τέσσαρα στοιχεῖα, τὸ ἰὼθ ἀρχή, καὶ διὰ τοῦ ἓ αὕτη, καὶ διὰ τοῦ οὐαὺ ἐν αὐτῇ καὶ διὰ τοῦ ἢθ ὁ ζῶν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.